εὑρεθέντες ἐν πόλεσιν Ἰούδα, καὶ συνέτριψαν τὰς στήλας καὶ ἔκοψαν τὰ ἄλση καὶ κατέσπασαν
τὰ ὑψηλὰ καὶ τοὺς βωμοὺς ἀπὸ πάσης γῆς Ἰουδαίας καὶ Βενιαμεὶν καὶ Ἐφράιμ καὶ ἀπὸ Μανασσὴ
ἕως εἰς τέλος· καὶ ἐπέστρεψαν πᾶς Ἰσραὴλ ἕκαστος εἰς τὴν κληρονομίαν αὐτοῦ καὶ εἰς τὰς πόλεις
αὐτῶν. [2]καὶ ἔταξεν Ἐζεκίας τὰς ἐφημερίας τῶν ἱερέων καὶ τῶν Λευειτῶν, καὶ τὰς ἐφημερίας 2
ἑκάστου κατὰ τὴν ἑαυτοῦ λειτουργίαν, τοῖς ἱερεῦσιν καὶ τοῖς Λευείταις, εἰς τὴν ὁλοκαύτωσιν καὶ
εἰς τὴν θυσίαν τοῦ σωτηρίου καὶ αἰνεῖν καὶ ἐξομολογεῖσθαι καὶ λειτουργεῖν ἐν ταῖς πύλαις ἐν ταῖς
αὐλαῖς οἴκου Κυρίου. [3]καὶ μερὶς τοῦ βασιλέως ἐκ τῶν ὑπαρχόντων αὐτοῦ εἰς τὰς ὁλοκαυτώσεις 3
τὴν πρωινὴν καὶ τὴν δειλινήν, καὶ ὁλοκαυτώσεις εἰς σάββατα καὶ εἰς τὰς νουμηνίας καὶ εἰς τὰς
ἑορτὰς τὰς γεγραμμένας ἐν τῷ νόμῳ Κυρίου. [4]καὶ εἶπαν τῷ λαῷ τοῖς κατοικοῦσιν ἐν Ἰερουσαλὴμ 4
δοῦναι τὴν μερίδα τῶν ἱερέων καὶ τῶν Λευειτῶν, ὅπως κατισχύσουσιν ἐν τῇ λειτουργίᾳ οἴκου
Κυρίου. [5]καὶ ὡς προσέταξεν τὸν λόγον, ἐπλεόνασεν Ἰσραὴλ ἀπαρχὴν σίτου καὶ οἴνου καὶ ἐλαίου 5

24 χειλιους (bis) B* | επτακισχειλια B* | χειλιαδας B* 25 λευιται A 27 λευιται A
XXXI 1 συνετρειψαν B* 2 λευιτων A | λιτουργιαν B* | λευιταις A | λιτουργειν B* 3 ολοκαυτωσις (1°) A
4 λευιτων A | κατεισχυσουσιν B* | λιτουργια B* 5 σειτου B*

ANa-hjmnpqtyzc_2e_2𝔄

επτα 1°] pr αλλας m | ημερας 1° post αλλας c_2 | om αλλας e_2 | om και 2°—ημερας 2° b' | εποιησαν] εποιησεν ye_2: ⟨om 44⟩ | επτα ημερας 2°] pr αλλας dp–z: ⟨pr ετερας 44⟩: +αλλας *b*fje_2 | εν ευφροσυνη] ευφροσυνην Nacefgjn𝔄: +ras 1 lit (forte ν) A

24 οτι] οτε N | εζεκιας] pr ο βασιλευς ιουδα e_2: ιεζεκιας e* (uid): +ο βασιλευς ιουδα b | om τω ιουδα be_2 | τη] pr ολη dfjp–z: pr παση be_2 | μοσχους 1° post χιλιους 1° bmp–z | ⟨om και 1° 44⟩ | om επτακισχιλια—και 3° b' | επτακισχιλια προβατα] προβα δεκα χιλιαδας g | επτακισχιλια post προβατα 1° d𝔄 | om οι c_2 | τον λαον g | μοσχους 2° post χιλιους 2° *b*p–ze_2 | προβατα 2°] προβατων *b*dmp–z | δεκα χιλιαδας] χιλιαδας δεκα d: επτακισχιλια g | τα αγια] ηγιασθησαν be_2𝔄: om τα g | ιερεων] αγιων e

25 om πασα 1° e | εκκλησια 1°] +ιουδα be_2: +του ιουδα m | om οι 1°—εκκλησια 2° adp–z | οι 1°] pr και be_2 | om ιουδα 1° bne_2 | om και 4°—(26) ιερουσαλημ 1° d | om και 4° abe_2 | ευρεθεντες] ελθοντες *b*e_2: εξελθοντες b' | ισραηλ 1°] ιλη̅μ afjp–c_2 | om οι 4° mc_2 | εισελθοντες B] ελθοντες AN rell 𝔄 | απο γης] εκ γης *b*e_2: εξ b' | απο 2° B] om b𝔄: εν AN rell

26 ευφροσυνη] pr εν m | εν ιερουσαλημ 1°] εν ιη̅λ p–z: om e | απο] pr και e_2 | ημερων] pr των A | σαλωμων] pr του A: σαλομων N^a?^a*b*efgjnz: σολομων b'dmp | om εορτη c* | ιερουσαλημ 2°] ιρουσαλημ t

27 οι 2°] pr και AN^b^adfgjmp–c_2𝔄 | τον 1°] pr τον θ̅ν̅ και g | λαον] θ̅ν̅ dp–z | ηκουσθη e_2 | εξηλθεν e | om η 2° c_2 | κατοικητηριον] +αυτου n | το αγιον] των αγιων g | αυτου] του θ̅υ̅ be_2: *Domini* 𝔄: +το αγιον n* | om τον 2° d*

XXXI 1 ως] εως N | συνετελεσεν c_2 | ταυτα παντα bdgnp 𝔄-ed | om ταυτα 𝔄-cod | εξηλθεν] *et* 𝔄 | ισραηλ 1°] +εκαστος εις την κληρονομιαν αυτου g | om εν m | om και 2°—στηλας dpqtz | εκοψαν B] εξεκοψαν AN omn | κατεσπασαν] κατεπατησαν g | τους βωμους] καθειλον τα θυσιαστηρια-be_2 | γης Bc_2] pr της h: om Am: της N rell 𝔄 | ιοδαιας b' | εφραιμ Bm] pr εξ AN rell 𝔄 | om απο 2° e_2 | μανασση g𝔄 | om εως g | om εις 1° a*de_2 | τελος] συντελειαν be_2 | επεστρεψαν BNcfbjn] απεστρεψε e_2: επεστρεψεν A rell 𝔄 | om εκαστος bdfje_2 | αυτου] εαυτου ANce | om και 10°—αυτων dhm | om εις 3° f | αυτων] εαυτων ANce: αυτου bp–z

2 εταξεν] pr ras (2—3) *b*: επαταξεν b' | ⟨ιεζεκιας 74⟩ | om των 1°—εφημεριας 2° e | om και 3°—λευειταις d | την εαυτου λειτουργιαν BAN^a^afhjc_2] την αυτου λειτουργιαν cegn: την λειτουργιαν αυτου e_2: την λειτουργιαν εαυτου rell 𝔄: της εαυτου λιτουργιας N* | αινειν] pr του be_2 | και εξομολογεισθαι] και του εξομολογεισθαι be_2: om d | λειτουργειν] pr του e_2 | εν ταις πυλαις] om A: ⟨om εν 236⟩ | om εν 2°—οικου m | εν ταις αυλαις BA] pr και be_2: της αυλης y: αυλης cegn: om dpqtz: om εν ταις N rell: *atriorum* 𝔄

3 μερις BANafjc_2] pr η rell | αυτων g | τας ολοκαυτωσεις] την ολοκαυτωσιν dp–c_2: om τας h | τωσις την πρωινην και την διλινην ολοκαυ A^a mg^ | om την 1°—ολοκαυτωσεις 2° N | την 1°] +τε be_2 | om την 2° aceg–nc_2e_2 | δειλινην] εσπερινην be_2 | ολοκαυτωσεις 2°] pr τας b'p–z: pr εις τας *b*e_2𝔄: ολοκαυτωσις Ac_2: om d | εις σαββατα BAafjmn] εις τα σαββατα cdeg: των σαββατων be_2𝔄: ⟨τας τα σαββατα 236⟩: om εις Nhc_2: τας (τα p) εις τα σαββατα rell | και εις τας 1°] om d: om εις p–z | ⟨νεομηνιας 74⟩ | εις τας 3°] om d: om τας c_2 | γεγραμμενας] γινομενας dp–z | τω νομω] οικω dp–z: om τω f

4 ειπαν] ειπον d: ειπεν ANace–jny𝔄: ειπεν εζεκιας be_2 | τοις] pr και c: οις g | κατισχυσωσιν Na–fjn–z | οικου] pr του a

5 ⟨om ως—λογον 44⟩ | om τον z | λογον] λαον eg: +εζεκιας be_2 | επλεονασεν Bc_2] επλεονασαν οι υιοι AN rell 𝔄 | και οινου] om g: om και b'de_2 | om και 3° d | γεννημα e | και

καὶ μέλιτος καὶ πᾶν γένημα ἀγροῦ· καὶ ἐπιδέκατα πάντα εἰς πλῆθος ἤνεγκαν (6) οἱ υἱοὶ Ἰσραὴλ B
6 καὶ Ἰούδα. 6 καὶ οἱ κατοικοῦντες ἐν ταῖς πόλεσιν Ἰούδα καὶ αὐτοὶ ἤνεγκαν ἐπιδέκατα μόσχων καὶ
προβάτων καὶ ἐπιδέκατα αἰγῶν, καὶ ἡγίασαν τῷ κυρίῳ θεῷ αὐτῶν, καὶ εἰσήνεγκαν καὶ ἔθηκαν
7 σωρούς. 7 ἐν τῷ μηνὶ τῷ τρίτῳ ἤρξαντο οἱ θεμέλιοι σωροὶ θεμελιοῦσθαι, καὶ ἐν τῷ ἑβδόμῳ μηνὶ
8 συνετελέσθησαν. 8 καὶ ἦλθεν Ἑζεκίας καὶ οἱ ἄρχοντες καὶ εἶδον τοὺς σωρούς, καὶ ηὐλόγησαν τὸν
9 κύριον καὶ τὸν λαὸν αὐτοῦ Ἰσραήλ· 9 καὶ ἐπυνθάνετο Ἑζεκίας τῶν ἱερέων καὶ τῶν Λευειτῶν ὑπὲρ
10 τῶν σωρῶν. 10 καὶ εἶπεν Ἀζαρίας ὁ ἱερεὺς ὁ ἄρχων εἰς οἶκον Σαδώκ, καὶ εἶπεν Ἐξ οὗ ἦρκται
φέρεσθαι ἡ ἀπαρχὴ εἰς οἶκον Κυρίου, ἐφάγομεν καὶ ἐπίομεν καὶ κατελίπομεν· ὅτι Κύριος ηὐλόγησεν
11 τὸν λαὸν αὐτοῦ, καὶ κατελίπομεν ἐπὶ τὸ πλῆθος τοῦτο. 11 καὶ εἶπεν Ἑζεκίας ἑτοιμάσαι παστοφόρια
12 εἰς οἶκον Κυρίου· καὶ ἡτοίμασαν. 12 καὶ ἤνεγκαν ἐκεῖ τὰς ἀπαρχὰς καὶ τὰ ἐπιδέκατα ἐν πίστει, καὶ
13 ἐπ' αὐτῶν ἐπιστάτης Χωμενίας ὁ Λευείτης, καὶ Σεμεεὶ ὁ ἀδελφὸς αὐτοῦ διαδεχόμενος, 13 καὶ Εἰὴλ
καὶ Ὀζείας καὶ Μάεθ καὶ Ἀσαὴλ καὶ Ἱερειμὼθ καὶ Ἐζαβὰθ καὶ Ἰεειὴλ καὶ Σαμαχειὰ καὶ Θάναι,
Βαναίας καὶ οἱ υἱοὶ αὐτοῦ, καθεσταμένοι διὰ Χωνενίου καὶ Σεμεεὶ τοῦ ἀδελφοῦ αὐτοῦ, καθὼς
14 προσέταξεν ὁ βασιλεὺς Ἑζεκίας καὶ Ἀζαρίας ὁ ἡγούμενος οἴκου Κυρίου. 14 καὶ Κωρὴ ὁ τοῦ Αἱμὰν
ὁ Λευείτης ὁ πυλωρὸς κατὰ ἀνατολὰς ἐπὶ τῶν δομάτων δοῦναι τὰς ἀπαρχὰς Κυρίῳ καὶ τὰ ἅγια
15 τῶν ἁγίων. 15 διὰ χειρὸς Ὄδομ καὶ Βενιαμεὶν καὶ Ἰησοῦς καὶ Σεμεεὶ καὶ Μαρίας καὶ Σεχονίας,
διὰ χειρὸς τῶν ἱερέων ἐν πίστει δοῦναι τοῖς ἀδελφοῖς αὐτῶν κατὰ τὰς ἐφημερίας, κατὰ τὸν μέγαν

9 λευιτων A | 10 ευλογησεν A | 12 λευιτης A | σεμει A
13 ιεριμωθ A | ιεειηλ] ιειηλ A | σαμαχια A | 14 λευιτης A | κατ A | 15 σεμει A | μεικρον B*

ANa–hjmnpqtyzc_2e_2𝔄

επιδεκατα παντα] και επι κατα παντα N: om bdp–e_2: om παντα f | εις πληθος ηνεγκαν] ηγαγον εις πληθος g | εις πληθος Bbhme_2] post ηνεγκαν ANt^a? rell 𝔄 | om ηνεγκαν t* | om οι fjmn* | ⟨om και 7° 236⟩ | ιουδα] pr *filii* 𝔄-ed

6 om και 1°—ιουδα b'e | om και 1° 𝔄 | ηνεγκαν και αυτοι d | επιδεκατα 1°] επι δεκα hc_2 | μοσχων] και μοσχους a | om και 4°—αυτων 𝔄 | επιδεκατα 2°] επι δεκα hc_2: om dm | αιγων] ⟨pr και 44⟩: αγιων e_2 | ηγιασε m | om τω m | om θεω—εισηνεγκαν d | αυτων] εαυτων ANacfj: ιηλ g | εισηνεγκαν] ηνεγκαν e | σωρους BN] + σωρους A omn 𝔄

7 ⟨εν 1°—τριτω] και 44⟩ | εν 1°] + δε be_2 | τριτω] πρωτω N* | ηρξατο *b* | θεμελιοι B] om AN omn 𝔄 | om και—συνετελεσθησαν d | εβδομω μηνι] μηνι τω εβδομω bmp–e_2

8 ηλθον e | ⟨om και 3°—σωρους 74⟩ | ειδον] ιδων g: ειδοντες A | om τον κυριον και h

9 om και των λευειτων m | ⟨υπερ] περι 44⟩

10 ειπεν 1° B] + αυτω d: + προς αυτον AN rell 𝔄 | αζαριας] ζαχαριας d | om ο 2°—σαδωκ d | εις οικον 1°] *ex domo* 𝔄: του οικου be_2: om pz | σαδωκ] σαδδουκ be_2: om p | και ειπεν 2° B] om AN omn 𝔄 | εξ ου] εκ σου dp | ηρκται—απαρχη] ηρκτεν απαρχη φερεσθαι m: ηρξαντο (-ατο b') αι απαρχαι φερεσθαι be_2: *coeperunt oblationes adferre* 𝔄 | φερεσθαι Bh] post απαρχη AN rell | οικον 2°] pr τον be_2 | και κατελιπομεν 1° Bcefj] και κατελειπομεν ANagh: και εκατελιπομεν εως εις πληθος b: + *reliqua* 𝔄: + εως εις πληθος me_2: om n: εως εις πληθος rell | om οτι—κατελιπομεν 2° e | κυριος] + *Dominus* 𝔄-ed | εαυτου ANj | κατελιπομεν 2°] κατελειπομεν ANage_2: κατελιπον dpqtzc_2: *remansit* 𝔄 | επι BN] ετι A omn 𝔄 | τουτο] τουτων g

11 ⟨om και 1°—κυριου 236⟩ | εζεκιας] + ετι Aaceghjny𝔄: + οτι N | ετοιμασαι] ετοιμασατε e𝔄 | παστοφοριαν g | οικον] pr τον be_2 | ητοιμασεν t

12 ηνεγκαν B] εισηνεγκαν AN omn | επιστατει N (-τη N*) | χωμενιας B] χονενιας g: χωνανιας m: χωχενιας A𝔄: και χωνενιας a: χωνενιας και p: χωνενιας N rell | σεμιας dp–c_2 | ⟨om ο 2°—διαδεχομενος 44⟩ | διαδοχος g

13 om και 1° d | ειηλ B] ιεηλ m: ιλειηλ g: ιεζιηλ b: ιεζεηλ d: ιειηλ AN rell 𝔄: ⟨ιεζεκιηλ 44⟩ | om και 2° d | οζειας BNabhne_2𝔄-ed] *Azias* 𝔄-codd: οζαιας e: οζαζας A: οζαζιας rell: ⟨οζοζιας 44⟩ | ⟨om και μαεθ 44⟩ | om και 3° d | μαεθ B] νααθ be_2: οναεθ g: νασεθ m: ναεθ AN rell: *Nathan* 𝔄 | om και 4° dm | ασαηλ] ασσαηλ be_2: ⟨ασασαηλ 74⟩ | om και 5° dm | ιερειμωθ] ιερημωθ Nb': ιερεμωθ g | om και 6° Ndm | εζαβαθ B] ιεζαβαθ f: ιωζαβαθ ANceghjn: ιωαζαβαθ a: ιωαζαβαδ b: ιωζαβαδ rell 𝔄 | om και 7° dm | ιεειηλ BA] ελιηλ N omn 𝔄 | om και 8° dm | σαμαχεια] pr ο dpqtzc_2 | om και 9° dm | θαναι B] μαθ g: σεχενιας (σιχ- e_2) και θαισων και ααθ be_2: μααθ ANe(μ sup ras) rell 𝔄 | βαναιας] pr και Aagze_2𝔄: βανλιας h: βανανιας f: και βανεας b | om οι b'dm | υιοι] αδελφοι N | καθισταμενοι g | χωνενιου] χονενιου g: χωχενιου A𝔄 | σεμειου y | ο βασιλευς] post εζεκιας bdgmp–e_2: om ο f | ο ηγουμενος] ηγουμενοι e: om ο m | om κυριου c

14 om και 1°—κυριω p | om και 1°—πυλωρος d | κωρη BANbchjn] κωρει e_2: κορι f: κορε g: κορη rell | αιμαν B] ιεμνι t: ο ιεμνα b' (ε ex corr): εμνα fj: ιενα h: ιεμνα AN*b* rell 𝔄 | κατα ανατολας post δουναι d | δωματων AN^b c–nqe_2𝔄 | αρχας d | κυριω BAghm] pr τω b': του κυριου *b*e_2: $\overline{κυ}$ N rell

15 om οδομ και m | οδομ] οδωμ aeg: ωδων f: σοδομ N*: σοδωμ N^b: αδοντων dp–c_2: ιαδαν *b*e_2: ιωαδαν b' | om και 2° m | ιησους Bbnye_2] ιησου AN rell 𝔄 | om και 3° m | σεμεει] μει z* | om και 4° m | μαριας] Մարիասայ 𝔄-codd: Մարիայ 𝔄-ed: αμαρειας bdfjmp–e_2 | σεχονιας] σεχωνιας aeny: σεχενιας fj𝔄-codd: սեքինեայ 𝔄-ed: χονιας g: σεχενιας εν ταις πολεσι be_2 | των ιερεων] των αγιων m: ⟨αδοντων 44⟩ | τους αδελφους d* | κατα 1°] και e_2 | κατα 2°] και g | μεγαν—μικρον] μικρον και (om d) κατα (om m) τον μεγαν dmp–c_2 | τον 2°] pr κατα ANbne_2

XXXI 11 ετοιμασαι παστοφορια] σ' χολασαι εξεδρας *b*

B καὶ τὸν μικρόν, [16]ἕκαστος τῆς ἐπιγονῆς τῶν ἀρσενικῶν ἀπὸ τριετοῦς καὶ ἐπάνω, παντὶ τῷ εἰσπο- 16
ρευομένῳ εἰς οἶκον Κυρίου, εἰς λόγον ἡμερῶν εἰς ἡμέρας, λειτουργίαν ἐφημερίαις διατάξεως αὐτῶν.
[17]οὗτος ὁ καταλοχισμὸς τῶν ἱερέων κατ᾽ οἴκους πατριῶν, καὶ οἱ Λευεῖται ἐν ταῖς ἐφημερίαις αὐτῶν 17
ἀπὸ εἰκοσαετοῦς καὶ ἐπάνω ἐν διατάξει, [18]ἐνκαταλοχίσαι ἐν πάσῃ ἐπιγονῇ υἱῶν αὐτῶν καὶ 18
θυγατέρων αὐτῶν εἰς πᾶν τὸ πλῆθος, ὅτι ἐν πίστει ἥγνισαν τὸ ἅγιον· [19]τοῖς υἱοῖς Ἀαρὼν τοῖς 19
ἱερατεύουσιν καὶ οἱ ἀπὸ τῶν πόλεων αὐτῶν ἐν πάσῃ πόλει καὶ πόλει ἄνδρες οἳ ὠνομάσθησαν ἐν
ὀνόματι, δοῦναι μερίδα παντὶ ἀρσενικῷ ἐν τοῖς ἱερεῦσιν καὶ παντὶ καταριθμουμένῳ ἐν τοῖς
Λευείταις. [20]καὶ ἐποίησεν οὕτως Ἑζεκίας ἐν παντὶ Ἰούδᾳ, καὶ ἐποίησεν τὸ καλὸν καὶ τὸ εὐθὲς 20
ἐναντίον τοῦ κυρίου θεοῦ αὐτοῦ. [21]καὶ ἐν παντὶ ἔργῳ ᾧ ἤρξατο ἐργασίᾳ ἐν οἴκῳ Κυρίου, καὶ ἐν 21
τῷ νόμῳ καὶ ἐν τοῖς προστάγμασιν ἐξεζήτησεν τὸν θεὸν αὐτοῦ ἐξ ὅλης ψυχῆς αὐτοῦ, καὶ ἐποίησεν
καὶ εὐοδώθη.

[1]Καὶ μετὰ τοὺς λόγους τούτους καὶ τὴν ἀλήθειαν ταύτην ἦλθεν Σενναχηρεὶμ βασιλεὺς 1 XXXII
§ o Ἀσσυρίων, καὶ ἦλθεν ἐπὶ Ἰούδαν καὶ παρενέβαλεν ἐπὶ τὰς πόλεις τὰς §τειχήρεις, καὶ εἶπεν
§ 𝔖 προκαταλαβέσθαι αὐτάς. §[2]καὶ εἶδεν Ἑζεκίας ὅτι ἥκει Σενναχηρείμ, καὶ τὸ πρόσωπον αὐτοῦ τοῦ 2
πολεμῆσαι ἐπὶ Ἰερουσαλήμ. [3]καὶ ἐβουλεύσατο μετὰ τῶν πρεσβυτέρων αὐτοῦ καὶ τῶν δυνατῶν 3
ἐμφράξαι τὰ ὕδατα τῶν πηγῶν ἃ ἦν ἔξω τῆς πόλεως· καὶ συνεπίσχυσεν αὐτῷ. [4]καὶ συνήγαγεν 4
λαὸν πολὺν καὶ ἐνέφραξεν τὰ ὕδατα τῶν πηγῶν καὶ τὸν ποταμὸν τὸν διορίζοντα διὰ τῆς πόλεως,
¶ 𝔖 λέγων Μὴ ἔλθῃ βασιλεὺς Ἀσσοὺρ καὶ εὕρῃ ὕδωρ πολὺ καὶ κατισχύσῃ.¶ [5]καὶ κατίσχυσεν 5
Ἑζεκίας καὶ ᾠκοδόμησεν πᾶν τὸ τεῖχος τὸ κατεσκαμμένον καὶ πύργους καὶ ἔξω προτείχισμα ἄλλο,
καὶ κατίσχυσεν τὸ ἀνάλημμα πόλεως Δαυείδ, καὶ κατεσκεύασεν ὅπλα πολλά. [6]καὶ ἔθετο ἄρχοντας 6
τοῦ πολέμου ἐπὶ τὸν λαόν, καὶ συνήχθησαν πρὸς αὐτὸν ἐπὶ τὴν πλατεῖαν τῆς πύλης τῆς φάραγγος,

16 λιτουργιαν B*A 17 λευιται A 18 εγκαταλοχισαι B^{ab} 19 λευιταις A 21 ευωδωθη B^{ab}
XXXII 3 συνεπεισχυσεν B* 4 κατεισχυση B* 5 κατεισχυσεν (bis) B* | προτιχεισμα A

ANa–hjmn(o)pqtyzc_2e_2𝔄(𝔖)

16 εκαστος Bh(κ ex ν)m] εκ g: εκτος AN rell 𝔄 | επιγονης] απογονης d*: + αυτων g | παντι] pr *et* 𝔄-ed | λογον] λ′ e | εις ημερας] ημεραν e: εν ημερα αυτου be_2 | ημερας λειτουργιαν εφημεριαις] εφημεριαν λειτουργιας d | ημερας Bg𝔄] ημεραν AN rell | λειτουργιαν B] pr εις AN rell 𝔄 | εφημεριας Nbcegmnpyc_2e_2𝔄 | om διαταξεως αυτων d

17 ουτος] pr *et* 𝔄: ουτως g | καταλογισμος ahme_2 | αυτων] εαυτων Na: om 𝔄 | εικοσαετων g𝔄(uid)

18 ενκαταλοχισαι B] εν τοις καταλοχισμοις be_2: εν (om dp) καταλοχιαις AN rell: *secundum numerum* 𝔄 | επιγονη] + αυτων be_2 | om αυτων 1° dm | θυγατερων] pr των p | om αυτων 2° bcege_2𝔄 | om το 1° dp–c_2 | ηγιασαν Abe_2𝔄(uid) | το 2°] τον Ac_2

19 τοις 1°] pr και be_2 | ⟨ιερατευουσιν] ιερευσι 44⟩ | και 1°—πολεων] εν τοις αγροις και εν ταις πολεσιν be_2 | om οι 1° dgp–c_2𝔄 | om αυτων 𝔄-codd | om και πολει dm𝔄 | ανδρος N | ονομασι be_2 | μεριδας a | om εν 3° nc_2 | λευειταις] λευι e

20 εζεκιας ουτως be_2 | om εζεκιας m | εν παντι] εναντι e_2: om εν g𝔄 | και εποιησεν 2°] εζεκιας m: om εποιησεν d: + εζεκιας be_2 | om το 2° d | ευθες] + και το αληθες be_2 | εναντιον] εναντι Nacfjn: ενωπιον h | του Bqt] om Admyz: post κυριου N rell | θεου αυτου] θῡ εαυτου fj: om dm

21 om εν 1°—προσταγμασιν dm | om εν 1° b′ | ω B] pr εν AN rell | εργασια B] pr εν τη be_2: pr εν AN rell | om και 2° 𝔄 | νομω] + *Domini* 𝔄 | πραγμασιν g* | om εξεζητησεν—αυτου 1° z | εζητησε dpqtc_2 | αυτου 1°] εαυτου ANce: om dm | εξ] pr και p–yc_2 | ψυχης Bdme_2] pr της AN rell | αυτου 2°] εαυτου Nfj | και εποιησεν Bbhe_2] om dm: om και AN rell 𝔄 | ευωδωθη B^{ab}N^{b}befnq–c_2

XXXII 1 ⟨τους—ηλθεν 1°] τουτο 44⟩ | om τουτους ceg | om και 2°—ταυτην m | ταυτην] αυτου gy | om ηλθεν 1° dp–c_2 | σενναχηρειμ] σενναχειρειμ N^{b}ab: σενναχειρημ N*d$^{a?}$: σενναχηρειν h: σεναχηρειμ efc_2*: σεναχειριμ gmp: σεναχιρημ d*: σενεχηρειμ z𝔄 | βασιλευς] pr ο p | ασσυριων] ασυριων z: ασσουρ y | και ηλθεν] om m𝔄: om και dp–c_2 | ιουδα h | παρενεβαλεν] παρενεβαλον emc_2: ενεβαλεν e_2 | επι 2°] εις e_2 | τειχηρεις] ...χηρεις o | και ειπεν] *et dicebat* 𝔄: και ει j: om d | om προκαταλαβεσθαι—(2) αυτου g | προκαταλαβεσθαι] pr του b

2 om οτι—ιερουσαλημ m | σενναχηρειμ] σενναχιρειμ ab′n: σενναχιρημ d: σεναχηρειμ efz: σεναχειρειμ N^{b}p: *Senecherim* 𝔄 | και το] κατα Ac–fjp–c_2𝔄 | επι] ⟨εις 74⟩: εν dfjp–c_2 | ιερουσαλημ] ιη̄λ e

3 πρεσβυτερων bis scr N* | αυτου] εαυτου ANacefj: om m𝔄 | om των 2° ANace–o | δυνατον c* | συνεπισχυσεν αυτω] *obstruxerunt ea* 𝔄 | συνεπισχυσεν B] συνεπισχιθησαν g: συνεπισχυσαν AN rell 𝔖 | αυτω] αυτων dp

4 πολυν] πολυ m | ενεφραξαν h𝔄 | om των πηγων m | τον ποταμον] των ποταμων g: τον χειμαρρουν be_2 | διεριζοντα g* | λεγων] *et dicunt* 𝔄 | ελθη] pr ποτε be_2𝔄: + ποτε y | βασιλευς] pr ο ANac–jnoe$_2$ | ασσουρ] ασουρ dgmzc_2: ασσυριων be_2 | κατισχυσει acegjmc_2

5 om και κατισχυσεν εζεκιας dm | ωκοδομησεν] + εζεκιας m | κατεσπασμενον ANacefgjnoz$^{a?}$ | και 4° post εξω m | om και 5° n | κατισχυσεν 2°] ωκοδομησε bmo(mg)p–yz*c_2e_2: om d | αναλημμα] αναλειμμα q*: αναλημα m: αναλυμα ag | πολεως] pr της dp–c_2

6 αρχοντα b | om του be_2 | προς] επ mp | επι 2°] εις AN aceghno𝔄: προς fj | της πυλης] της πολεως a: την πυλιν g: om 𝔄 | φαραγγος] φαρυγγος g: πολεως be_2 | ελαλησεν]

16 της επιγονης] σ′ των διανεμιθεντων *b* 17 ουτος ο καταλοχισμος] σ′ τα δε απονεμηθεντα *b*
XXXII 5 αναλημμα] σ′ προσπληρωμα *bo* (sine nom)

7 καὶ ἐλάλησεν ἐπὶ καρδίαν αὐτῶν λέγων [7]Ἰσχύσατε καὶ ἀνδρίζεσθε, μὴ πτοηθῆτε ἀπὸ προσώπου B
βασιλέως Ἀσσοὺρ καὶ ἀπὸ προσώπου παντὸς τοῦ ἔθνους τοῦ μετ' αὐτοῦ· ὅτι μεθ' ἡμῶν πλείονες
8 ἢ μετ' αὐτοῦ. [8]μετ' αὐτοῦ βραχίονες σάρκινοι, μεθ' ἡμῶν δὲ Κύριος ὁ θεὸς ἡμῶν, τοῦ σώζειν καὶ
τοῦ πολεμεῖν τὸν πόλεμον ἡμῶν. καὶ κατεθάρσησεν ὁ λαὸς ἐπὶ τοῖς λόγοις Ἑζεκίου βασιλέως
9 Ἰούδα. [9]Καὶ μετὰ ταῦτα ἀπέστειλεν Σενναχηρεὶμ βασιλεὺς Ἀσσυρίων τοὺς παῖδας αὐτοῦ ἐπὶ
Ἰερουσαλήμ, καὶ αὐτὸς ἐπὶ Λαχεὶς καὶ πᾶσα ἡ στρατεία μετ' αὐτοῦ, καὶ ἀπέστειλεν πρὸς Ἑζεκίαν
10 βασιλέα Ἰούδα καὶ πρὸς πάντα Ἰουδὰ τὸν ἐν Ἰερουσαλὴμ λέγων [10]Οὕτως λέγει ὁ βασιλεὺς
11 Ἀσσυρίων Ἐπὶ τί ὑμεῖς πεποίθατε; καθήσεσθε ἐν τῇ περιοχῇ ἐν Ἰερουσαλήμ; [11]οὐχὶ Ἑζεκίας
ἀπατᾷ ὑμᾶς τοῦ παραδοῦναι ὑμᾶς εἰς θάνατον καὶ εἰς λιμὸν καὶ εἰς δίψαν, λέγων Κύριος ὁ θεὸς
12 ἡμῶν σώσει ὑμᾶς ἐκ χειρὸς βασιλέως Ἀσσούρ; [12]οὗτός ἐστιν Ἑζεκίας ὃς περιεῖλεν τὰ θυσιαστήρια
αὐτοῦ καὶ τὰ ὑψηλὰ αὐτοῦ, καὶ εἶπεν τῷ Ἰούδᾳ καὶ τοῖς κατοικοῦσιν ἐν Ἰερουσαλὴμ λέγων
13 Κατέναντι τοῦ θυσιαστηρίου τούτου προσκυνήσετε καὶ ἐπ' αὐτῷ θυμιάσετε. [13]οὐ γνώσεσθε ὅ τι
ἐποίησα ἐγὼ καὶ οἱ πατέρες μου πᾶσι τοῖς λαοῖς τῶν χωρῶν; μὴ δυνάμενοι ἠδύναντο θεοὶ τῶν
14 ἐθνῶν πάσης τῆς γῆς σῶσαι τὸν λαὸν αὐτῶν ἐκ χειρός μου; [14]τίς ἐν πᾶσι τοῖς θεοῖς τῶν ἐθνῶν
τούτων οὓς ἐξωλέθρευσαν οἱ πατέρες μου; μὴ ἠδύναντο σῶσαι τὸν λαὸν αὐτῶν ἐκ χειρός μου, ὅτι
15 δυνήσεται ὁ θεὸς ὑμῶν σῶσαι ὑμᾶς ἐκ χειρός μου; [15]νῦν μὴ ἀπατάτω ὑμᾶς Ἑζεκίας, καὶ μὴ
πεποιθέναι ὑμᾶς ποιείτω κατὰ ταῦτα, καὶ μὴ πιστεύετε αὐτῷ· ὅτι οὐ¶ μὴ δύνηται ὁ θεὸς παντὸς ¶ o
ἔθνους καὶ βασιλείας τοῦ σῶσαι τὸν λαὸν αὐτοῦ ἐκ χειρός μου καὶ ἐκ χειρὸς πατέρων μου, ὅτι ὁ

7 ανδριζεσθαι A | 8 βραχειονες B* | 11 λειμον B*
12 περιειλεν] λ non inst B^b: περιειλε A | προσκυνησεται A | θυμιασεται A | 13 γνωσεσθαι A | πασιν A | εδυναντο A
14 τις εν πασι non inst B^b | πασιν A | εξωλοθρευσαν B^b | 15 πιστευεται A

ANa–hjmn(o)pqtyzc$_2$e$_2$𝔄

+ εζεκιας be$_2$ | καρδιαν] pr την ANabce–jnoe$_2$ | εαυτων a

7 ισχυσατε και ανδριζεσθε] ανδριζεσθε και ισχυσατε be$_2$ Thdt: om και ανδριζεσθε dm | μη] και μη φοβηθητε μηδε p–c$_2$: + φοβηθητε μηδε be$_2$ Thdt | πτοηθητε] φοβηθητε m | βασιλεως] pr του Thdt | ασσουρ] ασουρ mz: ασσυριων be$_2$ Thdt: ασυριων g: ⟨σεναχιριμ 44⟩ | απο προσωπου 2°] om m: om προσωπου dp–c$_2$ | παντος] post εθνους a: om m | του 1° Bbhmoe$_2$] om AN rell Thdt | του 2°] των g | om μεθ—η g* | υμων g^{a}h* | πλειους be$_2$ Thdt | η] υπερ τους be$_2$ Thdt

8 μετ αυτου] pr και m: om Aace | σαρκινοι] σαρκινες m: σαρκικοι be$_2$ | ημων 1°] υμων b' | om δε Thdt | om ημων 2° gm | om του σωζειν και mq | σωζειν] σωσαι ημας Thdt: + *nos* 𝔄 | ⟨om του πολεμειν 44⟩ | ⟨ημων 3°] + ποιειν 44⟩ | ο λαος] εζεκιας e$_2$ | εζεκιου βασιλεως ιουδα] αυτου d: ⟨om εζεκιου 74⟩: om βασιλεως ιουδα m | βασιλεως] pr του bhe$_2$

9 ταυτα] τουτο g | σενναχηρειμ] σενναχειρειμ N^{b}ab'q: σεναχηρειμ efz: σεναχειριμ gjmp: *Senecherim* 𝔄 | om βασιλευς ασσυριων m | ασσυριων—(28) σιτου retractauit spiritus et accentus adpinxit A^b | ασυριων gz | αυτου 1°] εαυτου AN*cfj | ⟨επι 1°] εις 44⟩ | αυτος] + ην be$_2$ | πασα η] η πασα fj: παση h: om η e | στρατεια BNgm] στρατια αυτου be$_2$: στρατια A rell | om μετ dfjp–c$_2$ | και 4°—λεγων] ουτως λεγων προς εζεκιαν και προς πασαν (uid) ιουδαν m | εζεκια e$_2$ | om βασιλεα—ιερουσαλημ 2° d | om και 5°—ιερουσαλημ 2° e$_2$ | om και 5°—τον 𝔄 | ιουδα 2°] ιουδαν ANabcefjnopyz | om προς παντα h | εν] επι h: om o*

10 ουτος N* | λεγει B] + σενναχειρειμ b: + σενναχιρημ d: + σεναχηρειμ efz: + σεναχειρειμ N^{b}agmp: + σενναχηρειμ AN* rell: + *Senecherim* 𝔄 | ο BANahoc$_2$] om rell | ασυριων g(+ τους παιδας αυτου επι ιλ̄η̄μ και απεστιλ g*)qz | τι B] τινι AN omn 𝔄 | πεποιθατε καθησεσθε] *confidentes sedetis* 𝔄 | καθησεσθε Bam] pr και dp–c$_2$: και καθησθε be$_2$: καθησθαι ANo(uid) rell | om εν τη περιοχη e$_2$ | om εν 2° fgj𝔄

11 ουχι] pr και προς τον λαον ειπεν (-πον 44) d⟨44⟩ | om του παραδουναι υμας b | υμας 2°] ημας p*: om fj | om και 1° m𝔄 | om εις 2° Ac$_2$ | om εις 3° d | διψαν] θλιψιν A | κυριος] κ̄ε̄ f* | om ο θεος ημων m | ημων] υμων ANabcfhjno𝔄-ed: om e$_2$𝔄-codd | σωσει] *seruat* 𝔄-codd | υμας 3°] ημας degmp–c$_2$: om a | om εκ—ασσουρ m | ⟨εκ] απο 44⟩ | ασσουρ] ασουρ gz: ασσυριων be$_2$: ⟨σεναχιριμ 44⟩

12 ουτος B] ουχ ουτως de$_2$: pr ουχ AN rell 𝔄 | περιελεν N* | θυσιαστηρια] υψηλα be$_2$ | om αυτου 1° d | υψηλα] θυσιαστηρια be$_2$ | ειπεν] pr παντα a m | om τω ιουδα και c$_2$* | εν Bbh] om AN rell 𝔄 | om λεγων 𝔄 | κατεναντι] pr και h: κατεναν g: ενωπιον be$_2$ | προσκυνησατε bc$_2$*e$_2$𝔄 | om και 4° t* | αυτω] αυτο dq–c$_2$: αυτου A: αυτα p | θυμιασετε] θυμιασατε bdghp–ze$_2$: θυσιασατε c$_2$𝔄

13 ου γνωσεσθε] *nonne nouistis* 𝔄: και γνωτε be$_2$ | ου] ουχι f: και g | ο τι] α be$_2$: om ο ANc$^{a?}$dfjp–c$_2$ | εποιησα] post εγω ANace–jno: + υμιν b' | om μου 1° g | των χωρων] *et regionibus* 𝔄 | εδυνηθησαν be$_2$𝔄 | θεοι] pr οι bdmp–e$_2$ | om των 2° fj | εθνων post γης fj | σωσαι] pr του e$_2$ | εαυτων Nace$^{a?}$fgj | χειρος] των χειρων ⟨74⟩𝔄

14 om totum comma dc$_2$ | om τις—μου 2° p | τις] *quem* 𝔄: + εστιν be$_2$ | ους] *non* 𝔄 | om μη—μου 2° m | μη ηδυναντο] και εγω ος (ως b') εδυνηθη (-θην b') be$_2$ | αυτων] εαυτων ANafj: αυτου be$_2$ | om οτι—μου 3° y | οτι] *et quomodo* 𝔄 | δυνησεται] ⟨pr ου 74⟩: δυναται fj | ημων p* | υμας] ημας g*: om m

15 νυν] pr και be$_2$: + ουν dp–c$_2$ | om και 1°—ταυτα d | om και 1° Nan | πεποιθεναι—ταυτα] ποιειτω υμας πεποιθεναι μηδε επισειετω υμας επι (εν e$_2$) τουτω be$_2$ | ποιειτε em | om και 2°—αυτω m | om και 2° o𝔄 | om μη 3° dp | πιστευετε] πιστευητε efjn: πιστευσητε c$_2$ | αυτω] εν τουτω e$_2$ | ου 1°—θεος 1°] *non potuerunt dei* 𝔄 | om ο 1° b | om του g | αυτου] εαυτου ANacefjn: αυτων dpqtzc$_2$𝔄 | om μου 1°—χειρος 2° j | om και 4°—μου 3° e | om και 4°—μου 2° m | πατερων] pr των be$_2$ | om μου 2° h | om οτι 2°—μου 3° d | οτι 2°] pr και πως be$_2$: *et* 𝔄 | ο 2°] ου

B θεὸς ὑμῶν οὐ μὴ σώσει ὑμᾶς ἐκ χειρός μου. 16 καὶ ἔτι ἐλάλησαν παῖδες αὐτοῦ ἐπὶ Κύριον θεὸν καὶ 16
ἐπὶ Ἐζεκίαν παῖδα αὐτοῦ. 17 καὶ βιβλίον ἔγραψεν ὀνειδίζειν τὸν κύριον θεὸν Ἰσραήλ, καὶ εἶπεν 17
περὶ αὐτοῦ λέγων Ὡς θεοὶ τῶν ἐθνῶν τῆς γῆς οὐκ ἐξείλαντο λαοὺς αὐτῶν ἐκ χειρός μου, οὕτως
οὐ μὴ ἐξέληται ὁ θεὸς Ἐζεκίου λαὸν αὐτοῦ ἐκ χειρός μου. 18 καὶ ἐβόησεν φωνῇ μεγάλῃ Ἰουδαιστὶ 18
ἐπὶ λαὸν Ἰερουσαλὴμ τὸν ἐπὶ τοῦ τείχους τοῦ βοηθῆσαι αὐτοῖς καὶ κατασπάσαι, ὅπως προκατα-
λάβωνται τὴν πόλιν. 19 καὶ ἐλάλησεν ἐπὶ θεὸν Ἰερουσαλὴμ καὶ ὡς καὶ ἐπὶ †θεοὺς λαῶν† τῆς γῆς, 19
†ἔργα† χειρῶν ἀνθρώπων. 20 καὶ προσηύξατο Ἐζεκίας ὁ βασιλεὺς καὶ Ἠσαίας υἱὸς Ἀμὼς ὁ 20
προφήτης περὶ τούτων, καὶ ἐβόησεν εἰς τὸν οὐρανόν. 21 καὶ ἀπέστειλεν Κύριος ἄγγελον· ἐξέ- 21
τριψεν πᾶν δυνατὸν καὶ πολεμιστὴν καὶ ἄρχοντα καὶ στρατηγὸν ἐν τῇ παρεμβολῇ βασιλέως
Ἀσσούρ· καὶ ἀπέστρεψεν μετὰ αἰσχύνης προσώπου εἰς τὴν γῆν αὐτοῦ. καὶ ἦλθεν εἰς οἶκον θεοῦ
αὐτοῦ, καὶ τῶν ἐξελθόντων ἐκ κοιλίας αὐτοῦ κατέβαλον αὐτὸν ἐν ῥομφαίᾳ. 22 καὶ ἔσωσεν Κύριος 22
Ἐζεκίαν καὶ τοὺς κατοικοῦντας ἐν Ἰερουσαλὴμ ἐκ χειρὸς Σενναχηρεὶμ βασιλέως Ἀσσοὺρ καὶ ἐκ
χειρὸς πάντων, καὶ κατέπαυσεν αὐτοὺς κυκλόθεν. 23 καὶ πολλοὶ ἔφερον δῶρα τῷ κυρίῳ εἰς 23
Ἰερουσαλὴμ καὶ δόματα τῷ Ἐζεκίᾳ βασιλεῖ Ἰούδα, καὶ ὑπερήρθη κατ᾽ ὀφθαλμοὺς πάντων τῶν
ἐθνῶν μετὰ ταῦτα. 24 Ἐν ταῖς ἡμέραις ἐκείναις ἠρρώστησεν Ἐζεκίας ἕως θανάτου, καὶ προσηύ- 24
ξατο πρὸς Κύριον, καὶ ἐπήκουσεν αὐτῷ, καὶ σημεῖον ἔδωκεν αὐτῷ. 25 καὶ οὐ κατὰ τὸ ἀνταπόδομα 25
ὃ ἔδωκεν αὐτῷ ἀπέδωκεν Ἐζεκίας, ἀλλὰ ὑψώθη ἡ καρδία αὐτοῦ· καὶ ἐγένετο ἐπ᾽ αὐτὸν ὀργὴ καὶ
¶ e_2 ἐπὶ Ἰουδὰ καὶ Ἰερουσαλήμ.¶ 26 καὶ ἐταπεινώθη Ἐζεκίας ἀπὸ τοῦ ὕψους τῆς καρδίας αὐτοῦ, καὶ 26
οἱ κατοικοῦντες Ἰερουσαλήμ, καὶ οὐκ ἐπῆλθεν ἐπ᾽ αὐτοὺς ὀργὴ θεοῦ ἐν ταῖς ἡμέραις Ἐζεκίου.

17 ονιδιζειν A | 19 θεους λαων] θ̅υ̅ σαλωμων B | εργων B
21 αγγελαν B¹] αγγελου B* | εξετριψεν] pr και Bᵃᵇ: εξετρειψεν B* | 22 κυκλωθεν A
24 αυτω 1°] αυτου Bᵃᵇ | 25 αλλ A | 26 εταπινωθη A

ANa-hjmnpqtyzc_2(e_2)𝔄

m: om A | ου μη σωσει] *non seruat* 𝔄-ed | om ου μη 2° e_2 | σωσει BAN*afhm] ρυσεται be_2: σωση Nᵃ? rell | υμας 3°] ημας g*: om z
16 ελαλησαν] + προς αυτον b′ | παιδες B] pr οι AN omn | επι 1°—επι 2°] προς d | κυριον] pr τον p-zc_2^a | θεον] pr τον bc_2*e_2 | ιεζεκιαν b′ | παιδα αυτου] pr και h: om dm
17 εγραψεν] + σενναχηρειμ (-χειρ- b′) be_2 | ονειδιζειν] pr του bye_2: ονειδιζων a: ονειδιζον e | τον] post κυριον bde_2: om gm | om περι—(18) εβοησεν d | om περι αυτου λεγων m | om λεγων 𝔄 | ως] ων g*: καθως be_2 | θεοι] pr οι bgp-e_2 | om της γης ⟨74⟩𝔄-cod | εξειλαντο befp-c_2 | λαους αυτων] *populum suum* 𝔄-ed | λαους B] pr τους AN rell | αυτων] εαυτων AN acefj | om ουτως—μου 2° amp | αυτως] αυτος gn* | om ου c_2* | εξεληται] εξελειται egjq*: εξελειται υμας e_2 | λαον] pr τον bq-e_2 | αυτου 2°] εαυτου ANcefgj: εαυτω n
18 εβοησαν be_2 | φωνη μεγαλη] pr εν be_2: φωνην μεγαλην g | ιουδαιστη N*bgme_2 | λαον ιερουσαλημ BNahjmn] λαον ι̅η̅λ̅ f: ιλημ και τον λαον Aceg: pr τον rell | om τον mp | βοηθησαι] φοβησαι be_2 | αυτοις] αυτους be_2: αυτον b′ | κατασπασαι] του κατασπασαι αυτους be_2: + *murum* 𝔄 | προκαταλαβωνται] προκαταλαβηται z: καταλαβονται g
19 ελαλησαν be_2 | θεον] pr τον ANabce-ne_2 | ιερουσαλημ] ι̅η̅λ̅ ag | και 2° B] om AN omn 𝔄 | ⟨om και 3° 44⟩ | θεους] pr τους be_2: θεοις m: ⟨θεον 236⟩ | λαων] pr των be_2 | ανθρωπων] pr των dp-c_2
20 προσηυξατο] *precauerunt* 𝔄 | om ο 1° e | om υιος dp | αμως] αμμως bh: αμμων e | om ο προφητης m | εβοησεν B] εβοησαν AN omn 𝔄
21 εξετριψεν B*] pr και BᵃᵇAN omn 𝔄 | παντα ANabce-ny | και 2° Bhmny] om AN rell | om και 3° 𝔄 | βασιλεως] pr του be_2 | ασσουρ] ασουρ gmz: ασσυριων bfje_2 | επεστρεψε e_2 | μετα αισχυνης προσωπου] μετα αισχυνης το προσωπον h: το προσωπον (+ αυτου g𝔄) μετα αισχυνης ANacefgjn𝔄 | αυτου 1°] εαυτου ANacefj | om και 6°—αυτου 2° dp-yz(txt)c_2 | εισηλθεν Abfjz(mg)e_2 | οικον] pr τον z(mg) | θεου Bbme_2] pr του ANz(mg) rell | αυτου 2°] εαυτου ANafj: αυτων m | om των—αυτου 3° m | των] pr εκ dfjp-c_2 | κοιλιας] pr της p | κατεβαλον] pr και n: κατεβαλεν m: κατεβαλλον eg: κατελαβον A*ᵘⁱᵈ(corr Aᵇ)be_2
22 εζεκιαν] pr τον bdmp-e_2 | εν] επι e_2: om Acdem-c_2 | om εκ 1°—ασσουρ m | σενναχηρειμ] σενναχειρειμ Nᵇab′: σενναχιρημ d: σεναχηρειμ efqzc_2: σεναχειριμ gᵃjp: *Senecherim* 𝔄: om g* | om βασιλεως—κυκλοθεν d | ασσουρ] ασουρ z: ασσουριων N: ασσυριων Aabccfhjne_2: ασυριων g | om και 3° y | και 4°] pr ras (3) q: om ee_2 | αυτους] ⟨αυτοις 236⟩: *eum* 𝔄-ed: + κ̅ς̅ g
23 πολλα n | εις ι̅λ̅η̅μ̅ τω κ̅ω̅ fj | εις] εν g | εζεκια βασιλει ιουδα] βασιλει εζεκια fjm | υπερηρθη] επερηρθη a: υπερηρχθη g*: υπηρθη A: + εζεκιας bze_2 | μετα] pr και Ach𝔄
24 om εν—εκειναις a | εν] pr και d | εκειναις ηρ sup ras Aᵃ | ηρρωστησεν] εμαλακισθη be_2 | εζεκιας] ζεκιας b′: ⟨+ βασιλευς 236⟩: + ο βασιλευς p-c_2 | εισηκουσεν dp-c_2 | αυτω 1° B*dg] αυτου BᵃᵇAN rell | εδωκεν] εδειξεν ceg | αυτω 2°] αυτο m: + κ̅ς̅ b
25 om ο a | εδωκεν αυτω απεδωκεν] ανταπεδωκεν αυτω b | εδωκεν] ανταπεδωκεν z* | αυτω] om ceg: + κ̅ς̅ e_2: + *Deus* 𝔄 | απεδωκεν B] ανταπεδωκεν (+ αυτω e_2) AN rell 𝔄 | εζεκιας] + τω κ̅ω̅ a | εγενετο επ αυτον] εγενετον g | επ αυτον] ο ex ω n: post οργη b: η καρδια q: om e_2 Thdt | om και 3° e_2 Thdt | om ιουδα και ceg | ιουδα Bdpqtc_2 Thdt] ιουδαν AN rell | om και ιερουσαλημ c_2 | ιερουσαλημ] pr επι Nadfhjn-z: επι ιερουσαλημ και επ αυτον Thdt
26 εταπεινωθη—ιερουσαλημ] εταπεινωθησαν d | ⟨εταπεινωσεν 74⟩ | om εζεκιας m | αυτου] εαυτου AN | om και 2°—ιερουσαλημ m | και 2°] pr αυτος bp-z Thdt | ιερουσαλημ] pr εν fj | ουκ επηλθεν] ουκ ηλθεν Thdt: εγενηθη m | ⟨οργη] pr η 44⟩ | θεου B] κ̅υ̅ AN omn 𝔄 Thdt | ⟨εν] επι 44⟩ | εζεκια m

21 και 6°—και 7°] *cumque ingressus esset domum dei sui filii sui* p
24 ηρρωστησεν] σ′ ηρρωστησεν *b*

27 27 καὶ ἐγένετο τῷ Ἑζεκίᾳ πλοῦτος καὶ δόξα πολλὴ σφόδρα· καὶ θησαυροὺς ἐποίησεν αὐτῷ B
ἀργυρίου καὶ χρυσίου καὶ τοῦ λίθου τοῦ τιμίου, καὶ εἰς τὰ ἀρώματα καὶ ὁπλοθήκας καὶ εἰς σκεύη
28 ἐπιθυμητά, 28 καὶ πόλεις εἰς τὰ γενήματα σίτου καὶ ἐλαίου καὶ οἴνου, καὶ φάτνας παντὸς κτήνους
29 καὶ μάνδρας εἰς τὰ ποίμνια, 29 καὶ πόλεις ἃς ᾠκοδόμησεν αὐτῷ καὶ ἀποσκευὴν προβάτων καὶ βοῶν
30 εἰς πλῆθος, ὅτι ἔδωκεν αὐτῷ Κύριος ἀποσκευὴν πολλὴν σφόδρα. 30 αὐτὸς Ἑζεκίας ἐνέφραξεν τὴν
ἔξοδον τοῦ ὕδατος Σειὼν τὸ ἄνω, καὶ κατηύθυνεν αὐτὰ κάτω πρὸς λίβα τῆς πόλεως Δαυείδ· καὶ
31 εὐοδώθη Ἑζεκίας ἐν πᾶσι τοῖς ἔργοις αὐτοῦ. 31 καὶ οὕτως τοῖς πρεσβύταις τῶν ἀρχόντων ἀπὸ
Βαβυλῶνος τοῖς ἀποσταλεῖσιν πρὸς αὐτὸν πυθέσθαι παρ᾽ αὐτοῦ τὸ τέρας ὃ ἐγένετο ἐπὶ τῆς γῆς,
32 ἐγκατέλιπεν αὐτὸν Κύριος τοῦ πειράσαι αὐτόν, εἰδέναι τὰ ἐν τῇ καρδίᾳ αὐτοῦ. 32 καὶ τὰ κατάλοιπα
τῶν λόγων Ἑζεκίου καὶ τὸ ἔλεος αὐτοῦ, ἰδοὺ γέγραπται ἐν τῇ προφητείᾳ Ἠσαίου υἱοῦ Ἀμὼς τοῦ
33 προφήτου καὶ ἐπὶ βιβλίου βασιλέων Ἰούδα καὶ Ἰσραήλ. § 33 καὶ ἐκοιμήθη Ἑζεκίας μετὰ τῶν § 𝔖
πατέρων αὐτοῦ, καὶ ἔθαψαν αὐτὸν ἐν ἀναβάσει τάφων υἱῶν Δαυείδ· καὶ δόξαν καὶ τιμὴν ἔδωκαν
αὐτῷ ἐν τῷ θανάτῳ αὐτοῦ πᾶς Ἰούδα καὶ οἱ κατοικοῦντες ἐν Ἰερουσαλήμ· καὶ ἐβασίλευσεν
Μανασσὴ υἱὸς αὐτοῦ ἀντ᾽ αὐτοῦ.

XXXIII 1 1 Ὢν δέκα δύο ἐτῶν Μανασσῆς ἐν τῷ βασιλεῦσαι αὐτόν, καὶ πεντήκοντα πέντε ἔτη ἐβασίλευσεν
2 ἐν Ἰερουσαλήμ. 2 καὶ ἐποίησεν τὸ πονηρὸν ἐναντίον Κυρίου, ἀπὸ πάντων τῶν βδελυγμάτων τῶν
3 ἐθνῶν οὓς ἐξωλέθρευσεν Κύριος ἀπὸ προσώπου τῶν υἱῶν Ἰσραήλ. 3 καὶ ἐπέστρεψεν καὶ ᾠκοδόμη-
σεν τὰ ὑψηλὰ ἃ κατέσπασεν Ἑζεκίας ὁ πατὴρ αὐτοῦ, καὶ ἔστησεν στήλας τοῖς Βααλεὶμ καὶ
4 ἐποίησεν ἄλση, καὶ προσεκύνησεν πάσῃ τῇ στρατείᾳ τοῦ οὐρανοῦ καὶ ἐδούλευσεν αὐτοῖς. 4 καὶ
ᾠκοδόμησεν θυσιαστήρια ἐν οἴκῳ Κυρίου οὗ εἶπεν Κύριος Ἐν Ἰερουσαλὴμ ἔσται τὸ ὄνομά μου εἰς
5 τὸν αἰῶνα. 5 καὶ ᾠκοδόμησεν θυσιαστήρια τῇ πάσῃ στρατείᾳ τοῦ οὐρανοῦ ἐν ταῖς δυσὶν αὐλαῖς

27 τειμιου B* 28 σειτου B* | και 4°] + κωμας και B^{ab} 29 πολις A 30 σιων B^{b} | ευωδωθη B^{ab} | πασιν A
31 πρεσβευταις B^{ab} 32 ελαιος A | προφητια A 33 τειμην B* XXXIII 2 εξωλοθρευσεν B^{b}

ANa–hjmnpqtyzc$_2$𝔄(𝔖)

27 om τω bdf–jp | εζεκιας h | πολυ g | αυτω Bbm] εαυτω AN rell: om 𝔄-cod | αργυριου και χρυσιου] *auri et argenti* 𝔄 | και του BAcegh] om Ny: om του rell | του 2° BAcegh] om N rell | om εις τα dp–e$_2$𝔄 | om και 7° d | οπλοθηκας] οπλοθηκαι e: + εποιησεν b | και εις 2°] και η h: om d: om εις ep–c$_2$𝔄 | εις σκευη επιθυμητα] πασι τοις σκευεσι της επιθυμιας αποθηκας b | επιθυμητα (28) και πολεις] πολις d

28 om και 1° 𝔄-cod | πολις p | γεννηματα ej | σιτου] pr του bdp–c$_2$ | om και 2° bd | ελαιου και οινου BANacehn] οινου και (+ του b) ελαιου rell 𝔄 | om και 4°—(29) πληθος d | om και 4° h | φατνας] pr κωμας ANace–jn: pr κωμας και B^{ab}y𝔄 | κτηνους] γενους f

29 ας ωκοδομησεν] εποιησεν b | αυτω 1°] εαυτω Aabce–jnt: εν εαυτω N | αποσκευην 1°] κτησεις b | om και 3° j | om οτι—σφοδρα m | αποσκευην 2°] κατασκευην g: om b

30 αυτος εζεκιας] και αυτος m | εφραξε e | την εξοδον] την οδον z$^{a?}$: om g* | σειων Bfhy] του γιων cg: πηγων m: των πηγων dpqt: om e: γιων AN rell 𝔄 | το] τα f: του N^{b}: την bg: ⟨των 44⟩ | αυτα] αυτο n(ο ex ω n^{a})𝔄-ed: om 𝔄-cod | κατω] και τω Nj | λιβα] δυσμας b | ευωδωθη B^{ab}N^{b}befh$^{?}$nq–c$_2$ Thdt | om εζεκιας 2° m | εαυτου Afj

31 om και g | ουτως] ουτοι p | τοις 1°] pr εν bgy Thdt | πρεσβυταις] πρεσβευταις B^{ab}Acgjn Thdt: πρεσβυτεροις hy*(uid) | τοις αποσταλεισιν (-ειλασιν 74) απο βαβυλωνος dp–c$_2$⟨74⟩ | απο] pr των beg Thdt | πυθεσθαι] πειθεσθαι ag | παρ—ο] *de eo et signis quae* 𝔄 | εγκατελιπεν B] και εγκατελειπεν ANagh: pr και rell 𝔄 Thdt | αυτον 2°] αυτου a | om ειδεναι τα m | ειδεναι] pr *et* 𝔄 | τα εν bis scr c$_2$ | om αυτου 2° a

32 λοιπα Adfgjp–c$_2$ | om και 2°—αυτου m | om και 2° y | τα ελεη b | ιδου] pr ουκ b | om τη g | om ησαιου fj | om υιου—ισραηλ m | ⟨om υιου αμως 44⟩ | αμμως bg* | om του προφητου d | βιβλου p | βασιλεων] pr των g

33 om εζεκιας dm | αυτου 1°] εαυτου ANa | αναβασει] τη αναβασει των b | ταφου g | υιων] υιου y | om και 3°—ιερουσαλημ d | εδωκεν g𝔖 | ιουδας gm | om εν 3° egp–c$_2$𝔄 | μανασση BA*a] *Manase* 𝔄: μανασης gm: μανασσης A$^{a?}$Nh (α 2° ex ν) rell | υιος—αυτου 4°] εν τω βασιλευσαι αυτον p | om υιος αυτου d

XXXIII 1 ⟨ων—ετων] ετων δεκα δυο ην 44⟩ | ων] pr υιος b: *erat* 𝔄: και ην g: + *filius* 𝔖 | δεκα δυο ετων] ετων δωδεκα m𝔄 | δεκα δυο BNacegh] δωδεκα bn: δεκα και δυο A rell | μανασσης] μανασης g: μανασση ah: *Manase* 𝔄: om Am | εν 1°—αυτον] *regnauit* 𝔖: om e | βασιλευσαι] βασιλευειν ab | πεντε B dhjmn𝔄-cod] και β′ g: om AN: pr και rell 𝔄-ed 𝔖 | om ετη e

2 ενωπιον ANabfhjn | απο 1°—βδελυγματων] κατα παντα τα βδελυγματα b | om των 2° j | ους] ων bdmp–c$_2$ | εξωλεθρευσεν] εξηρε b | απο προσωπου] εναντιον d | om των 3° Njm

3 και επεστρεψεν] om m: + μανασσης h | ⟨στηλας τοις βααλειμ] τας βααλιμ στηλας 44⟩ | στηλας] post βααλειμ d | τοις Bb] τη g: ταις AN rell | βααλημ g | προσεκυνησεν] *adorauerunt* 𝔖 | παση] post ουρανου fj: om mn | στρατεια Bg] στρατια AN rell | om και 6°—(5) ουρανου g | εδουλευσαν nt

4 om totum comma d | ωκοδομησεν] + μανασσης b | θυσιαστηριον abejm(uid)𝔄 | ⟨om εν 1° 74⟩ | οικω] pr τω b | ου] εν ω b𝔄 | om εν 2° t | om εσται fj

5 θυσιαστηρια] θυσιαστηριον ⟨44⟩𝔄𝔖: ⟨+ εν οικω κυριου 74⟩ | τη Bh] post παση AN rell | στρατεια B] στρατια AN rell | om του d | om εν—κυριου m | δυσιν] δυναμεσιν dp: om a

XXXIII 3 στηλας] σ′ θυσιαστηρια *b*

B οἴκου Κυρίου. [6]καὶ αὐτὸς διήγαγεν τὰ τέκνα αὐτοῦ ἐν πυρὶ ἐν γὲ βανὲ Ἐννόμ· καὶ ἐκληδονίζετο 6
καὶ ἐφαρμακεύετο καὶ οἰωνίζετο, καὶ ἐποίησεν ἐνγαστριμύθους καὶ ἐπαοιδούς· ἐπλήθυνεν τοῦ
ποιῆσαι τὸ πονηρὸν ἐναντίον Κυρίου τοῦ παροργίσαι αὐτόν. [7]καὶ ἔθηκεν τὸ γλυπτὸν τὸ χωνευτόν, 7
εἰκόνα ἣν ἐποίησεν, ἐν οἴκῳ θεοῦ οὗ εἶπεν ὁ θεὸς πρὸς Δαυεὶδ καὶ Σαλωμὼν τὸν υἱὸν αὐτοῦ Ἐν τῷ
οἴκῳ τούτῳ καὶ Ἰερουσαλήμ, ἣν ἐξελεξάμην ἐκ πασῶν φυλῶν Ἰσραήλ, θήσω τὸ ὄνομά μου εἰς τὸν
αἰῶνα. [8]καὶ οὐ προσθήσω σαλεῦσαι τὸν πόδα Ἰσραὴλ ἀπὸ τῆς γῆς ἧς ἔδωκα τοῖς πατράσιν 8
αὐτῶν, πλὴν ἐὰν φυλάσσωνται τοῦ ποιῆσαι πάντα ἃ ἐνετειλάμην αὐτοῖς κατὰ πάντα τὸν νόμον,
τὰ προστάγματα καὶ τὰ κρίματα ἐν χειρὶ Μωυσῆ. [9]καὶ ἐπλάνησεν Μανασσῆς τὸν Ἰούδαν καὶ 9
τοὺς κατοικοῦντας ἐν Ἰερουσαλήμ, τοῦ ποιῆσαι τὸ πονηρὸν ὑπὲρ πάντα τὰ ἔθνη ἃ ἐξῆρεν Κύριος
ἀπὸ προσώπου υἱῶν Ἰσραήλ. [10]καὶ ἐλάλησεν Κύριος ἐπὶ Μανασσὴ καὶ ἐπὶ τὸν λαὸν αὐτοῦ, καὶ 10
§ o οὐκ ἐπήκουσεν. §[11]καὶ ἤγαγεν Κύριος ἐπ' αὐτοὺς τοὺς ἄρχοντας τῆς δυνάμεως βασιλέως Ἀσσούρ, 11
καὶ κατέλαβον τὸν Μανασσὴ ἐν δεσμοῖς καὶ ἔδησαν αὐτὸν ἐν πέδαις καὶ ἤγαγον εἰς Βαβυλῶνα.
[12]καὶ ὡς ἐθλίβη, ἐζήτησεν τὸ πρόσωπον τοῦ κυρίου θεοῦ αὐτοῦ, καὶ ἐταπεινώθη σφόδρα ἀπὸ 12
προσώπου θεοῦ τῶν πατέρων αὐτοῦ· [13]καὶ προσηύξατο πρὸς αὐτόν, καὶ ἐπήκουσεν αὐτοῦ· καὶ 13
ἐπήκουσεν τῆς βοῆς αὐτοῦ, καὶ ἐπέστρεψεν αὐτὸν εἰς Ἰερουσαλὴμ ἐπὶ τὴν βασιλείαν αὐτοῦ· καὶ
ἔγνω Μανασσῆς ὅτι Κύριος αὐτός ἐστιν θεός. [14]Καὶ ᾠκοδόμησεν μετὰ ταῦτα τεῖχος ἔξω τῆς 14
πόλεως Δαυεὶδ ἀπὸ λιβὸς κατὰ Γιὸν ἐν τῷ χειμάρρῳ καὶ ἐκπορευομένων τὴν πύλην τὴν κυκλόθεν
καὶ εἰς αὐτὸν Ὄπλα, καὶ ὕψωσεν σφόδρα· καὶ κατέστησεν ἄρχοντας τῆς δυνάμεως ἐν πάσαις
ταῖς πόλεσιν ταῖς τειχήρεσιν ἐν Ἰούδα. [15]καὶ περιεῖλεν τοὺς θεοὺς τοὺς ἀλλοτρίους καὶ τὸ 15

6 εγγαστριμυθους Bᵇ 10 επηκουσαν Bᵃᵇ 11 παιδες A
14 γιον] νοτον Bᵃᵇ | και 2°] + κατα την εισοδον την δια της πυλης της ιχθυικης και περιεκυκλωσε το αδυτον και Bᵃᵇ

ANa–hjmn(o)pqtyzc_2𝔄𝔖

6 διηγεν ANabce–jn𝔄𝔖 | εαυτου Na | om εν πυρι m | εν 2°—εννομ] *in terra Bennom* 𝔄𝔖 | γε βανε εννομ B] γη βενεννομ N*: γη βενεννωμ Nᵇ: γη βεννενομ j: γη βενεννον h: γη βενενμον m: γη βεεννομ Acn: γη βεενωμ e: γη δε ενωμ g: τη βεεννομ f: γη βεσνενομ b′: γη βενενομ *b* rell | και εκληδονιζετο] και εκλυδονιζετο adgmp: om N | και εφαρμακευετο Ba] post οιωνιζετο AN rell 𝔄𝔖 | om και οιωνιζετο a | γαστριμυθους h | επαοιδους] pr επληθυνεν b | επληθυνεν του ποιησαι] και επληθυνε y: και εποιησε dpqtzc_2 | επληθυνεν] pr και g: εποιησεν A: και επληθυνε μανασσης b | εναντιον] εναντι c*: ενωπιον bz | του παροργισαι αυτον] om m: om του dp

7 om εθηκεν 𝔄 | το 2° B] pr και AN omn 𝔄𝔖 | εικονα] pr *et* 𝔄 | οικω 1°] pr τω b | θεου Bh] pr του g: κ̅υ̅ AN rell 𝔄𝔖 | ου—αιωνα] και ειπε του ειναι το ονομα αυτου εκει m | ου] εν ω b𝔖 | ο θεος] κ̅ς̅ bdp–c_2𝔄-codd | σαλωμων B] pr προς AN*cqtyc_2𝔖: σολομων d: προς σολομων b𝔄: προς σαλομων Nᵃ? rell | om τον υιον αυτου d | τον 1° Bb] om AN rell | υιων h | τουτω] του θ̅υ̅ a: ⟨αυτου 44⟩ | και 3°] εν b′𝔖: + εν *b*dgjp–c_2𝔄 | om ην 2° bf | om ισραηλ c_2 | θησω] σωθητω A: θηναι b | μου] + εκει b

8 om totum comma m | σαλευσαι] pr του bdp–c_2 | τον ποδα] τον παιδα c_2: *pedes* 𝔖 | εδωκας y | τοις πατρασιν αυτων] αυτω b′ | φυλασσωνται] φυλασσονται b′f(uid): φυλαξωνται dgp–c_2 | α] οσα g | ⟨om τον 2°—και 2° 74⟩ | τα 1° BANafhj] pr και rell 𝔄 | και τα κριματα] om z: + και δικαιωματα A | ⟨om εν χειρι 44⟩ | μωυσει jn

9 ⟨επλανησεν] εποιησε 74⟩ | μανασσης] μανασης g: μανασση N*ah: *Manase* 𝔄 | om εν Nd–gmp–c_2𝔄 | om τα m | om α—ισραηλ d | om κυριος A | υιων] pr των Ab Thdt

10 μανασση] pr τον *b*: μανασσην Ndm: μανασην g𝔄 | om επι 2° d | επηκουσεν B*a] ηκουσαν Abceg: επηκουσαν BᵃᵇN rell: *audiuerunt* 𝔄𝔖

11 επ αυτους κ̅ς̅ g | αυτους] αυτον A𝔄 | om της g | δυναστειας A | βασιλεως] pr του bdmp–yc_2 | ασσουρ] ασουρ gmz: ασσυριων b | κατελαβοντο Abcegmc_2 | τον μανασση] *eum* 𝔄 | om τον Acegc_2 | μανασση] μανασσην Nᵃ?a*b*myz: μανασην g | om αυτον 𝔄-ed | ηγαγον] ηγαγεν h: ηγον αυτον b: + *eum* 𝔖 | βαβυλωνος b′

12 ως] εως h | εθλιβη] + μανασσης b Thdt | εζητησεν το προσωπον] και (om Thdt) εδεηθη του προσωπου b Thdt: hab εδειτο Jos | εξεζητησε m | του Bno] om my: post κυριου AN rell Thdt | αυτου 1°] εαυτου Nafj | om και 2°—αυτου 2° f om απο—αυτου 2° m | προσωπου] pr προ h* | θεου 2°] pr του ANabceghno Thdt | των BAbgn Thdt] om N rell | αυτου 2°] εαυτου ANace

13 και 1° bis scr d | αυτον 1°] κ̅ν̅ d: θεον o (mg) | επηκουσεν 1°] εισηκουσεν dp–c_2 | om αυτου και επηκουσεν b′gm𝔄 Thdt | om και 3°—αυτου 2° d | βοης] φωνης h Thdt | om και 4°—αυτου 3° A | επι] εις z𝔄 | βασιλεια b′ | μανασσης] μανασης g: μανασση Afh: *Manase* 𝔄 | ⟨αυτος εστιν θεος] ο θεος αυτων 44⟩ | αυτος εστιν post θεος b′ | θεος B*b*] pr ο ANb′ rell Thdt

14 ωκοδομησεν B] post ταυτα AN omn | τειχος] pr μανασσης bm | om δαυειδ ceg | γιον B*] νωτον efg: νοτον του γειων b: νοτον του γηων y: του γεδεων νοτον m: νοτον BᵃᵇAN rell 𝔄𝔖 | χειμαρρω] + του γιον g: χειμαρρω και κατα την εισοδον την δια της πυλης της ιχθυικης και περιεκυκλωσε (-σεν A) το αδυτον BᵃᵇAdjmo(mg)p–c_2 ⟦χειμαρρουν m | om και 1° mz | om και 2°—αδυτον d⟧ | om και 2°—κυκλοθεν d | om και 2° bmpyzc_2 | εκπορευομενων] πορευομενων ANafh: + και πορευομενων j | κυκλοθεν—οπλα] ιχθικην κυκλω εις το οφλαα b: hab κυκλω εις τον οφλα o(mg) | om και εις αυτον 𝔄 | εις] pr εθετο dj(mgp)–yz*c_2: om g* | αυτον B] αυτο ANafhj(txt)mzᵃ?: το cegno(txt): αυτην j(mg)z* rell | οφλα ANace–hj(txt)nozᵃ? | om και 4° g | υψωσεν] + αυτην dp–c_2 | κατεστησαν t* | αρχοντα g | της δυναμεως] δυναμεων b𝔄 | εν 2°] επι dmp–c_2 | ⟨om ταις 1° 236⟩ | om ταις τειχηρεσιν d | ταις 2°] pr και a | τειχηρεσιν] τειχηραις Nm: τειχειρεις f | om εν 3° Nab′cegno𝔄

15 το γλυπτον] *sculpta* 𝔖 | om και 3°—κυριου 2° z | om

γλυπτὸν ἐξ οἴκου Κυρίου, καὶ πάντα τὰ θυσιαστήρια ἃ ᾠκοδόμησεν ἐν ὄρει οἴκου Κυρίου καὶ ἐν B
16 Ἰερουσαλὴμ καὶ ἔξωθεν τῆς πόλεως. [16]καὶ κατώρθωσεν τὸ θυσιαστήριον, καὶ ἐθυσίασεν ἐπ' αὐτὸ
17 θυσίαν σωτηρίου καὶ αἰνέσεως, καὶ εἶπεν τῷ Ἰούδᾳ τοῦ δουλεύειν Κυρίῳ θεῷ Ἰσραήλ.¶ [17]πλὴν ¶ 𝔖
18 ὁ λαὸς ἔτι ἐπὶ τῶν ὑψηλῶν· πλὴν Κύριος ὁ θεὸς αὐτῶν. [18]καὶ τὰ λοιπὰ τῶν λόγων Μανασσὴ
καὶ ἡ προσευχὴ αὐτοῦ πρὸς τὸν θεὸν καὶ λόγοι τῶν ὁρώντων λαλούντων πρὸς αὐτὸν ἐπ' ὀνόματι
19 θεοῦ Ἰσραήλ, [19]ἰδοὺ ἐπὶ λόγων [(19)] προσευχῆς αὐτοῦ, καὶ ἐπήκουσεν αὐτοῦ· καὶ πᾶσαι αἱ ἁμαρτίαι
αὐτοῦ καὶ ἀποστάσεις αὐτοῦ, καὶ οἱ τόποι ἐφ' οἷς ᾠκοδόμησεν τὰ ὑψηλὰ καὶ ἔστησεν ἐκεῖ ἄλση
20 καὶ γλυπτὰ πρὸ τοῦ ἐπιστρέψαι, ἰδοὺ γέγραπται ἐπὶ τῶν λόγων τῶν ὁρώντων. [20]καὶ ἐκοιμήθη
Μανασσῆς μετὰ τῶν πατέρων αὐτοῦ, καὶ ἔθαψαν αὐτὸν ἐν παραδείσῳ οἴκου αὐτοῦ· καὶ ἐβασί-
λευσεν ἀντ' αὐτοῦ Ἀμὼς υἱὸς αὐτοῦ.
21 [21]Ὢν εἴκοσι καὶ δύο ἐτῶν Ἀμὼς ἐν τῷ βασιλεύειν αὐτόν, καὶ δύο ἔτη ἐβασίλευσεν ἐν Ἰερου-
22 σαλήμ. [22]καὶ ἐποίησεν τὸ πονηρὸν ἐνώπιον Κυρίου ὡς ἐποίησεν Μανασσῆς ὁ πατὴρ αὐτοῦ· καὶ
πᾶσιν τοῖς εἰδώλοις οἷς ἐποίησεν Μανασσῆς ὁ πατὴρ αὐτοῦ ἔθυεν Ἀμὼς καὶ ἐδούλευσεν αὐτοῖς.
23 [23]καὶ οὐκ ἐταπεινώθη ἐναντίον Κυρίου ὡς ἐταπεινώθη Μανασσὴ ὁ πατὴρ αὐτοῦ, ὅτι υἱὸς Ἀμὼς
24 ἐπλήθυνεν πλημμέλειαν. [24]καὶ ἐπέθεντο αὐτῷ οἱ παῖδες αὐτοῦ, καὶ ἐπάταξαν αὐτὸν ἐν οἴκῳ
25 αὐτοῦ. [25]καὶ ἐπάταξεν ὁ λαὸς τῆς γῆς τοὺς ἐπιθεμένους ἐπὶ τὸν βασιλέα Ἀμώς· καὶ ἐβασίλευσεν
ὁ λαὸς τῆς γῆς τὸν Ἰωσείαν υἱὸν αὐτοῦ ἀντ' αὐτοῦ.
XXXIV 1 [1]Ὢν ὀκτὼ ἐτῶν Ἰωσείας ἐν τῷ βασιλεῦσαι αὐτόν, καὶ τριάκοντα ἓν ἔτος ἐβασίλευσεν ἐν
2 Ἰερουσαλήμ.¶ [2]καὶ ἐποίησεν τὸ εὐθὲς ἐναντίον Κυρίου, καὶ ἐπορεύθη ἐν ὁδοῖς Δαυεὶδ τοῦ πατρὸς ¶ o
3 αὐτοῦ, καὶ οὐκ ἐξέκλινεν δεξιὰ καὶ ἀριστερά. [3]καὶ ἐν τῷ ὀγδόῳ ἔτει τῆς βασιλείας αὐτοῦ, καὶ

18 προς 1°] pr η B[ab]   23 εταπινωθη (1°) A | πλημμελιαν A   25 ιωσιαν B[b]A
XXXIV 1 ιωσιας B[b]A   2 εξεκλεινεν B*A

ANa–hjmn(o)pqtyzc_2𝔄(𝔖)

παντα d | ορει οικου] οικω n: om οικου a | και εν ιερουσαλημ] om dp–c_2: om εν ANafno(txt) | om και 5° gm | εξωθεν B] εξεβαλεν εξω b Thdt: εξω AN rell

16 om το Thdt | θυσιαστηριον B] + του κ̅υ̅ b'g: + κ̅υ̅ AN*b* rell Thdt: + *Domini* 𝔄𝔖 | εθυσιασεν] εθυμιασεν m: εθυσεν no* Thdt | αυτω abegh*jnp Thdt | θυσιας bdpqtzc_2𝔄 Jos (uid) | ειπεν] + μανασσης bem Thdt | τω] τον z: + οικω του m | του] ⟨το 74⟩: om Thdt | εκδουλευειν g | κυριω] pr τω g: οικου κ̅υ̅ e: του a | θεω] pr τω bj Thdt: θ̅υ̅ e

17 om totum comma d | ο λαος post ετι bmp–c_2 Thdt | om ετι N* | υψηλων] + εθυμια p: + εθυμιαζεν b: + εθυσιαζεν gmyz Thdt | om πλην 2°—αυτων m | πλην 2°] αλλα o (mg) | κυριος ο θεος] κ̅ω̅ θ̅ω̅ pqtc_2: τω κυριω θεω o (mg): εις κενον κ̅ω̅ τω (om y) θ̅ω̅ byz Thdt: om ο h | αυτων] + αλλως πλην κ̅ω̅ θ̅ω̅ αυτων z

18 μανασση] σ 1° ex corr q: μαναση g𝔄 | προς 1° B*m] pr η B[ab]AN rell 𝔄 | λογοι] pr ras (2) c (uid): pr οι Abdmp–c_2 | λαλουντων] pr των bdfjmp–c_2𝔄: pr και a | om επ—ισραηλ m | επ] εν bg𝔄 | ονοματος q* | θεου B] pr κ̅υ̅ (+ του b) ANq[a] rell 𝔄

19 λογων 1°] λογον j | αυτου 1°] αυτων m | επηκουσεν Bh] pr ως AN rell: pr *in quibus* 𝔄 | om αυτου 3° d | om και αποστασεις αυτου z | αποστασεις Bdhjmn*] αι αποστασιαι Ab: pr αι Nn[a] rell | om και 4°—ορωντων m | τοποι] ταφοι b | οις] ους c | ωκοδομησεν] + εν αυτοις bdp–c_2: ⟨+ εαυτοις 74⟩ | om και 5°—επιστρεψαι g | om εκει d𝔄-ed | ιδου 2°] pr ουκ b | των λογων] λογου b': om των Aa*b*

20 μανασσης] bis scr m: μανασση ah: μανασης g: *Manase* 𝔄: om d | αυτου 1°] εαυτου ANa | οικου] ου ex ω q: οικων z* | αντ—αυτου 4°] αμως (α ex η uid d: αμων y) υιος αυτου μετ αυτον dp–c_2 | αντ αυτου post αυτου 4° bfm | αμως] αμμως e: αμων ab'fh: αμμων *b*j Jos (uid) | υιος] pr ο bg

21 ων] pr υιος b: *erat* 𝔄 | εικοσι—ετων] ετων ρκβ' d | εικοσι και δυο] post ετων Ap–c_2𝔄: om και jm | om αμως—αυτον d | αμως] αμμως e: αμων abfhy: αμμων j: om gm | βασιλευειν αυτον] βασιλευσαι f | δυο 2°] *duodecim* 𝔄-ed

22 εποιησεν 1°] + αμων *b* | ως] καθως b | om εποιησεν 2° d | μανασσης 1°] pr ο h: post αυτου 1° d: μανασης g: *Manase* 𝔄 | τοις ειδωλοις] του τειισωλοις t (ει ex ο) | μανασσης 2°—αυτου 2°] ο πατηρ αυτου μανασσης (μανασης g: *Manase* 𝔄) ANace–hno𝔄: om ο πατηρ αυτου d | εθυεν] εθυσεν jt𝔄: εθυσαν n | αμως] αμμως j: αμων bmy: αυτοις Nceg | εδουλευεν ANabceghmoqyzc_2

23 εταπεινωθη 1°] + αμων b: + μανασσης ο π̅η̅ρ αυτου c_2* | ενωπιον bg | κυριου] του θ̅υ̅ dp–c_2: ⟨+ του θεου 236⟩ | μανασση B] *Manase* 𝔄: μανασης g: μανασσης AN rell | om οτι—πλημμελειαν m | οτι] *sed* 𝔄: om f | υιος αμως B] αμων ο υιος αυτου b': υιος (pr ο *b*cefg) αυτου αμως (αμμως j: αμων *b*fy: om e) AN*b* rell 𝔄

24 αυτω] αυτον e: om bn | om και 2°—αυτου 2° p | αυτον] αυτω ad | οικω] pr τω b

25 τους επιθεμενους] bis scr b': τους επιτιθεμενους Aegz | αμως] αμος g(uid): αμμως ej: αμων bfmy: om 𝔄 | τον 2°] post ιωσειαν y: om dpqtzc_2

XXXIV 1 ων] pr υιος b: ην g𝔄: υιος f | οκτω] post ετων djmp–c_2: εικοσι N | om ιωσειας b'm | βασιλευσαι] βασιλευειν Aabdep–c_2 | εν 2°] pr και abp–c_2𝔄-ed: om f | ετος] ετη f

2 εποιησεν] + ιωσιας b | εναντιον BANafjmn] ενωπιον rell | δαυειδ post αυτου g | εαυτου ANf | δεξιαν *b* | και 4°] η Aabdgp–c_2: ουδε n𝔄 | αριστεραν *b*

3 αυτος] + ιωσιας b | του ζητησαι] ζητειν d: om του gmp–

B αὐτὸς ἔτι παιδάριον, ἤρξατο τοῦ ζητῆσαι Κύριον τὸν θεὸν Δαυεὶδ τοῦ πατρὸς αὐτοῦ· καὶ ἐν τῷ
δωδεκάτῳ ἔτει τῆς βασιλείας αὐτοῦ ἤρξατο τοῦ καθαρίσαι τὸν Ἰουδὰ καὶ τὴν Ἰερουσαλὴμ ἀπὸ
τῶν ὑψηλῶν καὶ τῶν ἄλσεων, καὶ ἀπὸ τῶν χωνευτῶν· [4]καὶ κατέσπασεν τὰ κατὰ πρόσωπον 4
αὐτοῦ τὰ θυσιαστήρια τῶν Βααλεὶμ καὶ τὰ ὑψηλὰ τὰ ἐπ' αὐτῶν, καὶ ἔκοψεν τὰ ἄλση καὶ τὰ
γλυπτά, καὶ τὰ χωνευτὰ συνέτριψεν καὶ ἐλέπτυνεν καὶ ἔρριψεν ἐπὶ πρόσωπον τῶν μνημάτων τῶν
θυσιαζόντων αὐτοῖς· [5]καὶ ὀστᾶ ἱερέων κατέκαυσεν ἐπὶ τὰ θυσιαστήρια, καὶ ἐκαθάρισεν τὸν Ἰουδὰ 5
καὶ τὴν Ἰερουσαλήμ, [6]καὶ ἐν πόλεσιν Ἐφράιμ καὶ Μανασσὴ καὶ Συμεὼν καὶ Νεφθαλεὶ καὶ τοῖς 6
τόποις αὐτῶν κύκλῳ. [7]καὶ κατέσπασεν τὰ ἄλση καὶ τὰ θυσιαστήρια, καὶ τὰ εἴδωλα κατέκοψεν 7
λεπτά, καὶ πάντα τὰ ὑψηλὰ ἔκοψεν ἀπὸ πάσης τῆς γῆς Ἰσραήλ, καὶ ἀπέστρεψεν εἰς Ἰερουσαλήμ.
[8]Καὶ ἐν τῷ ὀκτωκαιδεκάτῳ ἔτει τῆς βασιλείας αὐτοῦ, τοῦ καθαρίσαι τὴν γῆν καὶ τὸν οἶκον, 8
ˈἀπέστειλενˈ Σαφὰν υἱὸν Σελιὰ καὶ τὸν Μαασὰ ἄρχοντα τῆς πόλεως καὶ τὸν Ἰουὰχ υἱὸν Ἰωὰχ
τὸν ὑπομνηματογράφον αὐτοῦ, κραταιῶσαι τὸν οἶκον Κυρίου τοῦ θεοῦ αὐτοῦ. [9]καὶ ἦλθον πρὸς 9
Χελκείαν τὸν ἱερέα τὸν μέγαν, καὶ ἔδωκαν τὸ ἀργύριον τὸ εἰσενεχθὲν εἰς οἶκον θεοῦ, ὃ συνήγαγον
οἱ Λευεῖται φυλάσσοντες τὴν πύλην ἐκ χειρὸς Μανασσὴ καὶ Ἐφράιμ καὶ τῶν ἀρχόντων καὶ ἀπὸ
παντὸς καταλοίπου ἐν Ἰσραὴλ καὶ υἱῶν Ἰούδα καὶ Βενιαμεὶν καὶ οἰκούντων ἐν Ἰερουσαλήμ. [10]καὶ 10
ἔδωκαν αὐτὸ ἐπὶ χεῖρα ποιούντων τὰ ἔργα οἱ κατεσταμένοι ἐν οἴκῳ Κυρίου, καὶ ἔδωκαν αὐτὸ ποιοῦσι
τὰ ἔργα οἳ ἐποίουν ἐν οἴκῳ Κυρίου, ἐπισκευάσαι κατισχῦσαι τὸν οἶκον. [11]καὶ ἔδωκαν τοῖς τέκτοσι 11
καὶ τοῖς οἰκοδόμοις, καὶ ἀγοράσαι λίθους τετραπέδους καὶ ξύλα εἰς δοκοὺς στεγάσαι τοὺς οἴκους

4 *συνετρειψεν* B* | *ερρειψεν* B* 8 *ετι* A | om *απεστειλεν* B 9 *χελκιαν* B^bA | *ιερεαν* A | *λευιται* A
10 *ποιουσιν* A | *κατεισχυσαι* B*
11 *τεκτοσιν* A | om *και* 3° B^{ab} | *οικους*] seq ras 2—3 litt in A (*ους* bis scr A^{*uid})

AN a–hjmnpqtyzc_2𝔄

c_2 | *κυριον* post *τον* 1° fq | om *τον* 1° *b* | om *δαυειδ*—*αυτου* 2° dm | *δαυειδ*] pr *των πρ̅ων αυτου ητοι* g: post *αυτου* 2° n: om Nb | *δεκατω* Aan | *αυτου* 3°] *εαυτου* N: om m | *ηρξατο του καθαρισαι*] *εκαθαιρισε* m: om *του* dc_2 | om *τον* 2° b | *ιουδα* Bdg𝔄-ed] *ιουδαν* AN rell 𝔄-codd | *των* 2°] pr *απο* gn–c_2𝔄 | *αλσεων*] + *και απο* (om m) *των περιβωμιων* jmp–c_2: + *και των βωμων και των γλυπτων* b | om *απο* 2° bm | *χωνευτων*] *περιβωμιων* d

4 *κατεσπασεν* B] *κατεσπασαν* e: *κατεσκαψαν* Nacf–jn: *κατεσκαψε* rell Jos (uid): *κατεστρεψαν* A | *τα* 1°—*αυτου*] post *θυσιαστηρια* m: om d | *τα* 1° Bbm] om AN rell 𝔄 | *αυτου*] *αυτων* b | *τα* 2° post *θυσιαστηρια* b | *τα επ αυτων*] *super quae erant* 𝔄: om *τα* A | *εκοψεν*] *εκοψαν* j: *εξεκοψε* by Jos: om m | *ελεπτυνεν*] + *και εχωνευσε* dp–c_2 | *επι*] *κατα* dp–c_2 | *προσωπον* 2°] pr *το* j | *θυσιαζοντων*] *θυσιαστηριων* ceg

5 *οστα*] pr *τα* g | *ιερεων*] pr *των* g: + *αυτω* *b*: + *αυτων* b' | *κατεκαυσαν* N* | *επι τα θυσιαστηρια*] *super altare* 𝔄-codd: + *αυτων* bdp–c_2 | *εκαθαρισεν*] *εκαθερισεν* ANfgm: + *ιωσιας* b | *ιουδα* Bgm(uid)] *ιουδαν* AN rell 𝔄 | om *και* 3° m | om *την* j

6 *εν πολεσιν*] *ciuitates* 𝔄 | *εφραιμ και μανασση*] *μανασση και εφραιμ* dp–c_2: *μανασση εφραιμ* m: *εφρεν και μαναση* g | *νεφθαλει* Bahjn] *νευθαλιμ* g: *νεφαλειμ* b'*: *νεφθαλειμ* AN$b'^{a?}b$ rell 𝔄 | *τοις τοποις*] pr *εν* b: *locos* 𝔄: ⟨om *τοποις* 236⟩

7 *κατεσπασεν*] *κατεσκαψε* a: *κατεκαυσεν* g: om d | *αλση*—*θυσιαστηρια*] *θυσιαστηρια αυτων* (om m) *και τα αλση* mp–c_2 | om *και τα θυσιαστηρια* d | om *κατεκοψεν λεπτα* m | *κατεκοψεν*] pr *και* N: *και κατεκοψεν αυτα* j | *λεπτα* bis scr b | om *και* 4°—*εκοψεν* d | *εκοψεν* Bm] pr *και* p–c_2: *εξεκοψεν* b: *κατεκοψεν* AN rell | om *πασης* ANace–jn𝔄 | om *της* m | *ισραηλ*] *ιλ̅η̅μ* N | *απεστρεψεν* BANahmn] pr *αυτος* b: *επεστρεψεν* rell

